# TEZAUR LITURGIC

## 10 IUNIE

## SINCLITICHIA MONAHIA

# SLUJBA

## SF.CUVIOŞI

# TEOFAN

## ŞI

# PANSEMNIA

## DE LA

## ANTIOHIA SIRIEI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 10 ΙΟΥΝΙΟΥ
# ΘΕΟΦΑΝΗΣ & ΠΑΝΣΕΜΝΗ ΟΣΙΟΙ
# ΑΚΟΛΟΥΘΙΑ

**Συγκλητικῆς Μοναχῆς Ἱ. Μ. Ἁγ. Παντελεήμονος Χρυσοκάστρου Καβάλας**

## ΕΣΠΕΡΙΝΟΣ

*Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν τὰ προσόμοια τῶν Ἁγίων, δευτεροῦντες αὐτά. Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.*

Τὴν δυάδα ὑμνήσωμεν, τῶν Ὁσίων τὴν πάντιμον, Θεοφάνη καύχημα τῆς ἀσκήσεως, ἀναφανέντα σεβάσμιον, Πανσέμνην αὐγάζουσαν, μετανοίας καθαρᾶς, φῶς τῷ κόσμῳ σωτήριον, οἷς βοήσωμεν, μὴ ἐλλίπητε πάντοτε πρεσβεύειν, τὰς ψυχὰς ἡμῶν σωθῆναι, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Προσευχῆς τῇ λαμπρότητι, φωτισθεὶς τὴν διάνοιαν, ἐγκρατείας πόνοις τε δουλωσάμενος, πᾶσαν σαρκὸς ἡδυπάθειαν, ἀΰλως ἐβίωσας, ἐπὶ γῆς καὶ τῷ Θεῷ, ἐκκολλήθης μακάριε, Ὃν ἱκέτευε, δωρεῶν οὐρανίων ἀξιῶσαι, τοὺς ἐν πίστει ἐκτελοῦντας, ὦ Θεόφανες την μνήμην σου.

Μετανοίας γινώσκοντες, καθαρώτατον σκήνωμα, καὶ δακρύων τίμιον ἐργαστήριον, καὶ ταπεινώσεως τύπωσιν, Πανσέμνη γεραίρομεν, σὲ ὡς νύμφη καθαράν, τοῦ Σωτῆρος κἂν πρότερον, ἁμαρτάνουσα,

οὐχ ἐγίνωσκες Τοῦτον Ὃν δυσώπει, δωρηθῆναι ἡμῖν πᾶσι, ἐπιστροφὴν τὴν σωτήριον.

*Δόξα. Ἦχος πλ. β΄.*

Ἀνεξάντλητον ὑπάρχει τῶν οἰκτιρμῶν Σου Δέσποτα τὸ πέλαγος, ὅτι καὶ τὴν πρώην ἀσέμνως βιώσασα, λευκάνας τῇ μετανοίᾳ, σώφρονα καὶ καθαρὰν ἀνέδειξας Πανσέμνην τὴν φερώνυμον. Πεισθεῖσαν γὰρ ταῖς τοῦ Ὁσίου Θεοφάνους παραινέσεσι, ἀσκητικῶς διῆλθε τὸν βίον καὶ τελειωθεῖσα ἐν ὀλίγοις, ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτῆς. Αὐτῶν ταῖς παρακλήσεσι Χριστὲ ὁ Θεός, τὴν εἰρήνην δώρησαι ἡμῖν καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Φῶς ἱλαρόν· τὸ Προκείμενον τῆς ἡμέρας· καὶ τὰ Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (κέφ. Γ΄, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων

τεθνάναι καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*
*(Κεφ. Ε΄. 15-23 & ΣΤ΄, 1-3).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν·

συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέξει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Δ΄. 7-15).*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικίᾳ γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ

θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Εἰς τὴν Λιτήν. Ἦχος α΄.*

Δόξαν ἀναπέμψωμεν Θεῷ, ὅτι τὴν πρώην ἄσωτον καὶ πόρνην, μετανοήσασαν ἐκ ψυχῆς, ἀγκάλας πατρικὰς διανοίξας, εὐσπλάγχνως ὑπεδέξατο. Καὶ ἐνέδυσε τὴν θεοΰφαντον στολήν, ἀπείρῳ εὐσπλαγχνίᾳ κινούμενος. Διὸ μὴ ἀπογνῶμεν ἀδελφοί, οἱ ἐν ἁμαρτίαις Αὐτὸν παραπικράναντες, ἀλλὰ προσπέσωμεν ἐν δάκρυσι καὶ τὸ ἔλεος ἐκζητήσωμεν, παρὰ τοῦ πάντων Δημιουργοῦ καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β΄.*

Σύμμορφοι γεγονότες τῇ δόξῃ τῷ Υἱῷ καὶ Λόγῳ τοῦ Θεοῦ, ἐν οὐρανοῖς Αὐτῷ
συμβασιλεύετε, Θεόφανες καὶ Πανσέμνη ἀοίδιμοι, τῶν ἱδρώτων ὑμῶν τὸν μισθὸν λαβόντες, ἄφθαρτον κληρονομίαν καὶ ἀΐδιον, ὅθεν καὶ παῤῥησίας τυχόντες ἀπτώτου, ἀπαύστως ἱκετεύσατε, πᾶσαν δόσιν ἀγαθὴν ἡμῖν καταπέμψαι, τοῖς ἐκτελοῦσι ἐν πόθῳ τὴν θείαν μνήμην ὑμῶν.

*Ἦχος γ΄.*

Καρτερίᾳ τῆς ἀσκήσεως, τῆς ἁμαρτίας ἐμάκρυνας Πανσέμνη, καὶ τῷ ὕδατι τῶν δακρύων σου, τὴν φλόγα τῶν σαρκικῶν ἡδονῶν ἀπέσβεσας, τοῖς πόνοις δὲ τῶν θείων σου ἀρετῶν, τὰ πάθη κατεμάρανες. Καὶ γέγονας περιστερὰ ὡς ἄμωμος, ὅλη λελαμπρυσμένη τῷ φωτὶ τῆς μετανοίας. Διὸ εἰς

οὐρανίους καταπαύσεις πετάσασα, καὶ σκηνώσασα τοῦ Παραδείσου εν χαρᾷ, ἀδιαλείπτως πρέσβευε ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

*Ἦχος δ΄.*

Δεῦτε φιλαγίων ὁ χορός, τὸ ἱερώτατον ζεῦγος ἐπαινέσωμεν, τῶν Ὁσίων τοῦ Χριστοῦ, Θεοφάνην τὸν μέγαν καὶ Πανσέμνην τὴν μακαρίαν. Τούτους γὰρ ἡ χάρις συνέδησε τοῦ Ἁγίου Πνεύματος, συνεργὸν χρησαμένη τὸν Θεοφάνην, πρὸς ἐπιστροφῆς αὐτῆς ἐκ τῆς ματαίας ζωῆς. Καὶ ὁδηγὸς αὐτῆς χρηματίσας, πρὸς ἀναβάσεις θεϊκῶν ἀρετῶν ὑπήλειψεν, καθυποδείξας τῆς μετανοίας τὴν κλίμακα. Διὸ ἀμφότεροι καλῶς τελειωθέντες καὶ τῷ Κυρίῳ εὐαρεστήσαντες, ἐπέτυχον τῶν αιωνίων ἀγαθῶν. Ὧν γένοιτο καὶ ἡμᾶς ἀπολαμβάνειν ταῖς πρεσβείαις αὐτῶν δεόμεθα.

*Δόξα. Ἦχος πλ. α΄.*

Τὰ πανεύοσμα ἄνθη τῆς ὁσιότητος, τὰ διαπνέοντα ὀσμὴν τὴν οὐράνιον καὶ εὐωδιάσαντα τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, ἱεραῖς μελωδίαις οἱ πιστοὶ ἀνευφημήσωμεν. Τὸν ἐν ἀσκήσει διαπρέψαντα Θεοφάνην καὶ τοῦ διαβόλου τὴν ἰσχὺν καταπατήσαντα καὶ φραιδρυνθέντα ταῖς ἀρεταῖς πανευλαβῶς. Σὺν τούτῳ τὴν ἔνδοξον Πανσέμνην, τὸν λύχνον τῆς μετανοίας τὸν ἀείφωτον καὶ ταπεινώσεως τὸ μέγα ἀκροθίνιον, ὧν ταῖς ἱκεσίαις ὁ Θεός, καὶ ἡμᾶς καταξίωσον τῶν ἐκλεκτῶν σου τῆς χαρᾶς, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

*Καὶ νῦν. Θεοτοκίον.*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τὴν πρώην πόρνην ἡ χάρις Ὁσίαν ἔδειξεν, λουτρῷ τῆς μετανοίας, καὶ βαπτίσματος θείου, Πανσέμνην τὴν Ἁγίαν καὶ τῷ Χριστῷ, λαμπροφόρον παρέστησεν, ἀδιαλείπτως πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν ἐν ὕμνοις δοξαζόντων αὐτήν.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Τῶν ἐπιγείων ἁπάντων καταφρονήσασα, καὶ ἡδονῶν ματαίων, ἀποστάσα ἐμφρόνως, ἐγένου ἐν ἐρήμῳ ἀσκητικῶς, τὴν ψυχὴν ἐκκαθάρασα, ὅθεν καὶ σκεῦος ἐγένου χωρητικόν, δωρεῶν τῶν ὑπὲρ ἔννοιαν.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τῶν Ὁσίων Αὐτοῦ.*

Θεὸν ποθῶν ἀκορέστως Πάτερ Θεόφανες, ἀγρύπνοις ἱκεσίαις, καὶ νηστείαις καὶ κόποις, ἐπτέρωσας τὸν νοῦν σου καὶ τῷ φωτί, τῷ ἀΰλῳ τεθέασαι, θεοφανείας ἀῤῥήτου τὴν ἀστραπήν, καὶ θεώσεως ἐπέτυχες.

*Δόξα. Ἦχος πλ. δ΄.*

Θεομιμήτως ζητῶν το πλανώμενον, ἐξῆλθες πρὸς ἐξεύρεσιν αὐτοῦ, Πάτερ Θεόφανες, ἐπεγνωκὼς γὰρ τὴν κατ' εἰκόνα Θεοῦ πλασθεῖσαν, τῷ βορβόρῳ κυλισθεῖσαν τῆς ἁμαρτίας, πᾶσαν τέχνην διῆλθες πρὸς τὸ ἑλκῦσαι αὐτήν. Καὶ τῷ θείῳ βαπτίσματι κεκαθαρμένην, εἰς τὰς ερήμους ὁδηγήσας τοῦ ποικίλαι τὴν στολήν, τῶν Ὁσίων τοῖς ἀγωνίσμασι. Ὅθεν ἀμφότεροι ἐκλάμψαντες μυστικῶς ἐν τῷ στερεώματι τῆς ἀσκήσεως, μεγίστων δωρεῶν ἠξιώθητε παρὰ τοῦ φιλανθρώπου Θεοῦ, καὶ ἐν Κυρίῳ τελέσαντες τὸν δρόμον, ἀξίως ἐστεφανώθητε σὺν τοῖς Ἁγίων χοροῖς, μεθ' ὧν ἱκετεύσατε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Τῆς Ὁσίας. Ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.*

Ἱλασμοῦ τῶν πταισμάτων τυχοῦσα πάνσεμνε, τῷ φέγγει τῆς μετανοίας καταυγασθεῖσα τὸν νοῦν, τῆς ἀσκήσεως ἐφάνης θεῖον σέμνωμα, ὅθεν θαυμάτων

δωρεᾶς, σὲ ἠξίωσε Χριστός, Πανσέμνη Ὁσία Μῆτερ, Ὃν δυσώπει τοῦ οἰκτειρῆσαι, ἡμᾶς τοὺς πίστει εὐφημοῦντάς σε.

*Δόξα. Ἕτερον. Τῶν Ὁσίων. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ὁσίως βιώσαντες ἐπὶ τῆς γῆς τὴν ἰσχύν, ἐχθροῦ ἐταπείνωσαν ὁ Θεοφάνης ὁμοῦ, Πανσέμνη ἡ πάνσεμνος, ὅθεν τῆς οὐρανίου, βασιλείας τυχόντες, ἄπαυστον ἱκεσίαν τῷ Θεῷ ἐκτελοῦσι, ὑπὲρ τῶν ἐπιτελούντων αὐτῶν, μνήμην τὴν εὔσημον.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν,*
*κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ἐμπόνοις στεναγμοῖς, καὶ δακρύων τοῖς ῥείθροις, τοὺς σπίλους τῶν παθῶν, ἐκκαθάρασα Μῆτερ, ἐγένου καθαρώτατον, τῆς Τριάδος παλάτιον, τῷ βαπτίσματι, καὶ σὺν φρονίμοις παρθένοις, εἰσελήλυθας, εἰς τὸν οὐράνιον γάμον, Πανσέμνη θεόληπτε.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Μυστήριον τῆς Σῆς, ἀνεκφράστου λοχείας, καὶ νοῦς ἀγγελικός, οὐκ ἰσχύσει Μαρία, νοῆσαι Θεὸν γὰρ ἔτεκες, καὶ Παρθένος διέμεινας, παναμώμητε, ἀκατανόητον θαῦμα, ξένον θέαμα, καὶ ἀκατάληπτον βάθος, ὁ ἄφραστος τόκος Σου.

*Μετὰ τὴν β΄ στιχολογίαν,*
*κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Φῶς προσέλαβες, θεογνωσίας, θείοις ῥήμασι, τοῦ Θεοφάνους, καὶ τὸ σκότος τῆς ἁμαρτίας ἐδίωξας, ἐν τῇ ἐρήμῳ Πανσέμνη κατῴκησας, καὶ ἀρεταῖς τὴν ψυχὴν κατελάμπρυνας, ὅθεν γέγονας, Ὁσίων ἰσοστάσιος, καὶ σκεῦος ἐκλογῆς τοῦ θείου Πνεύματος.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Ἄνθος τίμιον, τὴν οἰκουμένην, εὐωδίασας, τῇ παρθενίᾳ, Παναγία Θεοτόκε πανάσπιλε, οὗ τῇ ὀσμῇ εὐφρανθεὶς ὁ ἀχώρητος, ἐν τῇ γαστρί Σου ἐσκήνωσεν Δέσποινα, σαρξ γενόμενος, καὶ ἔσωσε τὸ ἀνθρώπινον, φθορᾶς καὶ τοῦ θανάτου ὡς φιλάνθρωπος.

*Μετὰ τὸν Πολυέλεον,*
*κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Θεοφάνης σήμερον, σὺν τῇ Πανσέμνῃ, ὡς ἀστέρες λάμποντες, περιαυγάζουσιν ἡμᾶς, τοὺς ἀνυμνοῦντας τὴν ἄσκησιν, καὶ τοὺς ἀγῶνας, οὓς ἄμφω διήνυσαν.

*Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.*

Σωτηρίαν βράβευσον, Παρθενομῆτορ, πᾶσι τοῖς προστρέχουσι, τῇ Σῇ πρεσβείᾳ Ἀγαθή, ἁμαρτιῶν τὴν συγχώρησιν, δωρησαμένη, ὡς πάντα ἰσχύουσα.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Ὁσιακόν, τῆς 5ης Δεκεμβρίου.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τῶν Σῶν Ὁσίων...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ἀνεξάντλητον ὑπάρχει τῶν οἰκτιρμῶν Σου Δέσποτα τὸ πέλαγος, ὅτι καὶ τὴν πρώην ἀσέμνως βιώσασα, λευκάνας τῇ μετανοίᾳ, σώφρονα καὶ καθαρὰν ἀνέδειξας, Πανσέμνην τὴν φερώνυμον. Πεισθεῖσα γὰρ ταῖς τοῦ Ὁσίου Θεοφάνους παραινέσεσι, ἀσκητικῶς διῆλθε τὸν βίον καὶ τελειωθεῖσα ἐν ὀλίγοις ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτῆς. Αὐτῶν ταῖς παρακλήσεσι Χριστὲ ὁ Θεός, τὴν εἰρήνην δώρησαι ἡμῖν καὶ τὸ μέγα ἔλεος.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου ἤ τῆς ἑορτῆς· καὶ τῶν Ὁσίων, οὗ ἡ ἀκροστιχίς: *Σεμνοῖς με ἤθεσι κατακόσμησον Μῆτερ.* Συγκλητικῆς Μοναχῆς.

*ᾨδὴ α΄. Ἀνοίξω τὸ στόμα μου.*

Σκοτίαν ἐκλάμπρυνον, τῆς ζοφερᾶς διανοίας μου, τὴν σὴν ὅπως μέλψω νῦν μνήμην ἀοίδιμε, καὶ καταύγασον, Πανσέμνη τοῦ νοός μου, τὰς κόρας τοῦ Πνεύματος, θείαις λαμπρότησιν.

Ἐκλύσει τὸ πρότερον, τῇ τῶν παθῶν διανύσασα, τὸν βίον ἀφέστηκας τοῦ Ζωοδότου Χριστοῦ, μὴ γινώσκουσα, Θεὸν Ὃν ἐκδυσώπει, ἁγνοίας με ῥύσασθαι δεινῆς πορώσεως.

Μελέτην τῆς κρίσεως, ὅλον τὸν βίον ποιούμενος, ἐμάκρυνας Ὅσιε, τῶν κοσμικῶν σεαυτόν, ἐν ἐρήμῳ δέ, οἰκήσας ἠξιώθης, δοχεῖον Θεόφανες γενέσθαι Πνεύματος.

*Θεοτοκίον.*

Νυμφὼν θεοκόσμητος, ἡ μακαρία Σου γέγονεν, κοιλία πανύμνητε, Θεὸν χωρήσασα, τὸν ἀχώρητον, παντὶ καὶ ἀφθαρσίαν, τῷ κόσμῳ ἐξέλαμψεν, Μῆτερ ἀπείρανδρε.

*ᾨδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.*

Ὁ πάντας βουλόμενος σωθῆναι, βορβόρων παθῶν τῶν σαρκικῶν, πεσοῦσαν σὲ ἀνέστησεν, τὸ πρώην μορφωσάμενος, κάλλος τὸ θεοτύπωτον, ἐν σοὶ Πανσέμνη πανένδοξε.

Ἰλὺν ἡδονῶν περικειμένην, ὁρῶν σε ὁ Ὅσιος Θεοῦ, Πανσέμνη κατωκτίρησε, καὶ ἔσπευσεν ἁρπᾶσαί σε, ἐκ τῆς χειρὸς τοῦ δράκοντος, τοῦ βροτοκτόνου ὡς τάχιον.

Σπουδαίως μανθάνουσα ὦ Μῆτερ, τὴν κόλασιν τῶν ἁμαρτωλῶν, ἐνύχθης τὴν καρδίαν σου, καὶ δάκρυσιν ἐστέναζες, ποθοῦσα δὲ τὴν λύτρωσιν, πρὸς τὸν Σωτῆρα κατέσπευσας.

*Θεοτοκίον.*

Μετάγουσα κλῖμαξ καθωράθης, πρὸς βίον οὐράνιον σεμνή, τοὺς πόθῳ Σὲ γεραίροντας, Μαρία πολυΰμνητε, καὶ ὀρθοδόξως σέβοντας, τοῦ Σου Υἱοῦ τὴν θεότητα.

*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Χειραγωγοῦντα σε, πρὸς βίον ἄϋλον, καὶ ὑποδείξαντα, ὁδὸν ἀσκήσεως, τὸν Θεοφάνην ὁ Σωτήρ, ἀπέστειλεν φιλανθρώπως, ὅθεν τοῦ βαπτίσματος, τῷ φωτὶ ἀπαστράψασα, ἅπασαν κατέλιπες, ἡδονῶν ἀμαυρότητα, καὶ γέγονας Ὁσία Πανσέμνη, σκεῦος Θεοῦ ἡγιασμένον.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τῆς δεσποτείας με, παθῶν ἀπάλλαξον, καὶ τυραννίδος με, τούτων ἐκλύτρωσαι, κατατρυχόντων τὴν ψυχὴν τοῦ δούλου Σου Θεοτόκε, πνεῦμα δέ μοι δώρησαι, μετανοίας πανάσπιλε, συντριβήν τε πνεύματος καὶ καρδίας ταπείνωσιν, δακρύων τε σωτήριον ῥεῖθρον, ὅπως Θεὸν ἐξιλεώσω.

*ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Εὐσπλαγχνίας τοῦ Δεσπότου ἀνεξάντλητον πέλαγος, Μῆτερ ἐπιγνοῦσα, ἅπασαν ἐβύθισας ἄβυσσον, τὴν τῶν πταισμάτων σου, καὶ στενὴν ἐβάδισας, τῆς ἀσκήσεως τρίβον, Πανσέμνη ἀείμνηστε.

Ἠγαλλίασε Πανσέμνη σοῦ τὸ πνεῦμα ἐπὶ Κύριον, ὅτε παραδόξως, σκεῦος ἀσωτίας ὑπάρχουσαν, σὲ ἀναπλάττει δοχεῖον καθαρότητος, ᾧ ἐβόησας· δόξα Χριστὲ τῇ δυνάμει Σου.

Θεωρῶν ὁ Θεοφάνης πλανηθεῖσάν σε ὄρεσι, Μῆτερ ἀπωλείας, ἔλεος Δεσπότου μιμούμενος, ἐπιζητῶν ἁμαρτίας προσποιήσεσι, πρὸς τὴν μάνδραν σε, τὴν ἐπουράνιον εἵλκυσε.

*Θεοτοκίον.*

Ἐνυπόστατον τὸν Λόγον τοῦ Πατρὸς ἀπεκύησας, σάρκα εἰληφότα, Σοῦ ἐκ τῶν αἱμάτων ἀνύμφευτε, εἰς σωτηρίαν τοῦ κόσμου καὶ ἀνάπλασιν, ᾧ κραυγάζομεν· δόξα Χριστὲ τῇ δυνάμει Σου.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Σταυρώσασα μέλη σου, τὰ ἐπὶ γῆς τῷ πνεύματι, πάντα καθυπέταξας Πανσέμνη, καὶ τῇ ἀσκήσει σάρκαν μαράνασα, ἀΰλως ἐβίωσας σεμνή, Ἄγγελος ἐπίγειος, γενομένη πανάριστε.

Ἱδρῶσι τῶν κόπων σου, ῥοαῖς δὲ τῶν δακρύων σου, ῥῦπον ἐναπέπλυνας πταισμάτων, καὶ τῆς ψυχῆς σου τὸ ὀπτικὸν φωτεινόν, Πανσέμνη εἰργάσω τοῦ Θεοῦ, δόξαν τὴν ἀπόῤῥητον, μυστικῶς θεωρήσασα.

Κοινὴν ἀπολαύετε, τὴν εὐφροσύνην Ὅσιοι, Θεόφανες Πάτερ καὶ Πανσέμνη, ὡς τοὺς ἀγῶνας τῆς ἐπὶ γῆς θαυμαστῶς, ὁμοῦ διηνύσατε φωτί, θείῳ ἀναλάμψαντες, ὡς ἀστέρες παγκόσμιοι.

*Θεοτοκίον.*

Ἀήττητον δώρησαι, ἰσχύν μου ἀειπάρθενε, ὅπως ἀποκρούσωμαι ἀνδρείως, τῶν ἀοράτων ἐχθρῶν τὰς φάλαγγας, τῶν ἐπιζητούντων δολερῶς, τὴν ψυχὴν ἁρπᾶσαί μου, καὶ κολάσει ἐκπέψειν με.

*Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.*

Τὴν ἔμπρακτόν σου μετάνοιαν, ὁρῶν ἐκ τῶν σῶν πόνων ἀνέπαυσεν, Μῆτερ ὁ Κύριος, εἰς παραδείσου σκηνώματα, σὺν τοῖς Ἁγίοις πᾶσι τάξας ὁ δίκαιος.

Ἀκτήμων ἄοικος γέγονας, ἡ πρὶν ἐγκαυχωμένη τοῖς χρήμασι, καὶ ματαιότησι, διὰ Χριστὸν γὰρ ἠγάπησας, Πανσέμνη τὴν πτωχείαν βίου καὶ πνεύματος.

Καινὸν σὺ γέγονας θέαμα, Ἀγγέλοις καὶ ἀνθρώποις πῶς ἄσωτος, γυνὴ καὶ ἄσεμνος, σὺν ταῖς φρονίμοις εἰσέδραμες, παρθένοις εἰς νυμφῶνα τὸν ἐπουράνιον.

*Θεοτοκίον.*

Οἰκτίρμων Μῆτερ ὑπάρχουσα, οἰκτίρμονος Θεοῦ ὡς λοχεύτρια, οἴκτιρον σῶσόν με, καὶ πρὶν εἰς τέλους ἀπόλωμαι, λύτρωσαι Παναγία τῆς καταδίκης με.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Τὴν τῶν Ὁσίων ξυνωρίδα εὐφημήσωμεν,
τὸν Θεοφάνην, ἀσκητῶν τὸ ἐγκαλλώπισμα,
καὶ Πανσέμνην μετανοίας εὔοσμον μῦρον, ἣν ὁ Ὅσιος
τὸν Κύριον μιμούμενος, ἐκ βυθοῦ τῆς ἁμαρτίας
ἀνελκύσατο, ἀνακράζοντες· Παμμακάριστοι χαίρετε.

*Ὁ Οἶκος.*

Ἄφθαρτον εἰληφότες, ἐκ χειρὸς τοῦ Κυρίου, τὸ στέφος Θεόφανες καὶ Πανσέμνη, ἀσιγήτως ὑμνεῖτε Αὐτόν, καὶ νῦν τὰς δεήσεις ἡμῶν προσδέξασθε, τῶν τιμώντων τὴν μνήμην πιστῶς καὶ ἐκβοώντων κατὰ χρέος·

Χαίρετε, βάσεις τῆς Ἐκκλησίας·
χαίρετε, κρίνα τῆς ἀφθαρσίας.
Χαῖρε, Θεόφανες, τῶν ἀσκητῶν σύγκληρος·
χαῖρε, ἀσωμάτων Ἀγγέλων, ἐφάμιλλος.
Χαῖρε, Πανσέμνη, γνησίας μετανοίας διάγγελμα·
χαῖρε, τῶν ἐν βίῳ ἁμαρτανόντων τὸ ἐνίσχυμα.
Χαῖρε, Χριστοῦ μιμησάμενος τὴν ἀγάπην·
χαῖρε, τὴν ἁμαρτωλὸν διορθώσας τῆς πλάνης.
Χαῖρε, ἡ καθαρθεῖσα τοῖς δάκρυσι·
χαῖρε, ἡ λαμπρυνθεῖσα τοῖς πέρασι.
Χαίρετε, σκεύη ἡγιασμένα·
χαίρετε, Θεῷ καθιερωμένα.

*Παμμακάριστοι χαίρετε.*

Τῇ Ι΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ὁσίων Θεοφάνους καὶ Πανσέμνης.

*Ὁμοῦ ἀσκήσαντες Θεοφάνης καὶ Πανσέμνη,*
*Θεοφανείας μετέχουσιν ὁμοίως.*

*Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.*

*ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Σχῆμα ἅγιον τῶν μοναστῶν ἐνέδυσε ὁ ἀφαρπάσας σε ἐκ της ματαίου ζωῆς, καὶ πᾶσαν ἐδίδαξεν Πανσέμνη ἄσκησιν, τοῦ ἱλάσκεσθαι, Θεὸν τὸν εὐδιάλλακτον, τὸν ἀεὶ εὐλογημένον.

Μῦρον εὔοσμον τῆς μετανοίας δάκρυα Μῆτερ κατηύφραναν τὸν σὸν Νυμφίον Χριστόν, ὑπὲρ μακροχρόνιον ἄσκησιν ὄντως γάρ, ἐν ὀλίγοις σύ, τελειωθεῖσαι Πάνσεμνε, μακροὺς ἐπλήρωσας χρόνους.

Ἡσυχάζουσα καὶ τῷ Θεῷ λατρεύουσα παννύχοις στάσεσι καὶ δακρυρόοις εὐχαῖς, χαρίτων τοῦ Πνεύματος γέγονας κάτοπτρον, ἀπαστράπτουσα, ὑπερφυῶν ἐλλάμψεων, ἡλιομόρφους ἀκτίνας.

*Θεοτοκίον.*

Σοῦ ἡ ἄσπιλος καὶ ὑπὲρ φύσιν γέννησις ἡδύνει πάναγνε τῶν εὐσεβῶν τὰς ψυχάς, ἐκύησας λύτρωσιν καὶ σωτηρίαν γάρ, τοῖς κραυγάζουσιν· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.*

Ὄντως ἐχαροποίησας Ἀγγέλους, καθὼς ἐν εὐαγγελίοις ὁ Χριστὸς φησί, ἐν τῇ μετανοίᾳ σου, καὶ ἐν τῇ ἀσκήσει σου, Πανσέμνη σεμνολόγημα Ὁσίων τίμιον, μεθ' ὧν δοξολογεῖς τὸν Δεσπότην, καὶ ὑμνεῖς συμφώνως εἰς πάντας τοὺς αἰῶνας.

Νήφουσα καὶ ἄγρυπνος τελούσα, Θεῷ προσεκαρτέρεις καὶ ἐκραύγαζες, μὴ μνησθῇς φιλάνθρωπε, χρόνους τῆς ἀγνοίας μου, ἐν οἷς ἀσώτως ἥμαρτον, καὶ παρεπίκρανα, τὸ πάθος δι' ἐμὲ ἑκουσίως, πάλαι ὑποστάντα, ἵνα ἐμὲ λυτρώση.

Μέγας γέγονας θαυματοφόρος, ἀσκήσας ὑπὲρ τὴν φύσιν ὦ Θεόφανες, πᾶσι διετράνωσας, τοῦ Θεοῦ τὴν δύναμιν, τὰς νόσους ἰασάμενος, διώκων πνεύματα, καὶ Κύριον ὑμνεῖτε διδάσκων καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ἡ ἐν γυναιξὶν εὐλογημένη, ὁ θρόνος τοῦ Βασιλέως ὁ χρυσόπλοκος, ἡ Θεογεννήτρια, πάντας συνεκάλεσεν, εἰς δόξαν καὶ προσκύνησιν τοῦ θείου Τόκου Αὐτῆς, Ὂν πάντες οἱ πιστοί, εὐλογοῦμεν καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

Τίμιος ὁ σός, ἐνώπιον γέγονεν Κυρίου θάνατος, περιβεβλημένης σου, λαμπρὸν χιτῶνα τῆς καθαρότητος, λελευκασμένον δάκρυσι τῆς

κατανύξεως, καὶ παντοίων ἀρετῶν ταῖς χάρισι κοσμηθέντα, Πανσέμνη πανεύφημε.

Ἔρωτι Χριστοῦ, ἐμάρανας πάνσεμνε, σαρκὸς τοὺς ἔρωτας, ὅλην δὲ τὴν ἔφεσιν, τὴν τῆς ψυχῆς σου Αὐτῷ ἐκόλλησας, ἀναβοῶν πανένδοξε· μέγας εἶ Κύριε, ὁ ἐξ ᾅδου πάλαι ἀφαρπάσας με, τῆς πικρᾶς ἁμαρτίας καὶ σώσας με.

Ῥίψας τῆς σαρκός, τὸ γήϊνον πρόσλημμα, εἰς τὴν ὑπέρκαλλον δόξαν ἀνελήλυθας, χειρὶ τοῦ κτίστου, τῶν πόνων ἔπαθλον, Θεόφανες ληψόμενος, καὶ στέφος ἄφθαρτον, καὶ Ὁσίων χοροῖς συναπτόμενος ὡς ἰσότιμος τούτων μακάριε.

Σύμψυχοι ἐν γῇ ὡς ὤφθητε Ὅσιοι, οὕτω καὶ σύσκηνοι, ἐν ἀκαταλήπτῳ νῦν, τοῦ Παραδείσου δόξῃ ἐκλάμπετε, ὑμῶν σεπταῖς δεήσεσιν ἡμᾶς τειχίζοντες, τοὺς τὴν θείαν μνήμην καὶ σεβάσμιον, εὐσεβῶς ἐκτελοῦντας μακάριοι.

*Θεοτοκίον.*

Μόνη γυναικῶν, Παρθένος διέμεινας μετὰ τὴν κύησιν, μόνον τὸν ἀχώρητον, πάσῃ τῇ κτίσει Χριστὸν κυήσασα, εἰς κόσμου ἀπολύτρωσίν τε καὶ οἰκείωσιν, τῷ ἀνάρχῳ Πατρὶ παναμώμητε, ὅθεν πᾶσαι γενεαὶ Σὲ μεγαλύνομεν.

*Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.*

Τῆς μετανοίας τὸ ῥόδον, ἡμῖν ἐξήνθησεν λαμπρῶς, ἡ μακαρία Πανσέμνη, καὶ Θεοφάνης ὁ σεπτός, τὸ τῆς ἀσκήσεως κρῖνον, οὓς εὐφημήσωμεν ἅμα.

*Θεοτοκίον.*

Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μῆτερ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

*Αἶνοι. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου,*

Ὅτε, Θεοφάνης ὁ σεπτός, την τῆς μετανοίας σοι τρῖβον, καὶ Βασιλείας ὁδόν, σοφῶς καθυπέδειξε Πανσέμνη ἔσπευσας, ἁμαρτίας μισήσασα, πορεύεσθαι ταύτην, πόνοις τῆς ἀσκήσεως σαυτὴν ἐκτήξασα, καὶ τοῖς ὀδυρμοῖς τῶν δακρύων, λύσιν τῶν πταισμάτων αἰτοῦσα, ταύτης σὲ ἠξίωσεν ὁ εὔσπλαγχνος. *(Δίς)*

Ἄφατος ὑπάρχει Σου Χριστέ, ἡ περὶ ἡμᾶς ἀγαθότης, καὶ εὐσπλαγχνία δι’ ἧς, εἵλκυσας τὴν δούλην Σου Πανσέμνην ἐκ τοῦ βυθοῦ, ἀσελγείας καὶ ἔνυξας, αὐτῆς τὴν καρδίαν, τῷ τῆς κατανύξεως κέντρῳ φιλάνθρωπε, θεῖον δὲ στολὴν ἀφθαρσίας, ἐπὶ τῷ βαπτίσματι ταύτην, καὶ ἀχειροποίητον ἐνέδυσας.

Κλήματα ἀμπέλου τῆς ζωῆς, βότρυν μυστικὸν τῷ Κυρίῳ, καρποφορήσαντες, ὄντως ἀνεφάνητε, Πανσέμνη πάνσεμνε, καὶ Θεόφανες Ὅσιε, ἡ μὲν μετανοίᾳ, Θεὸν ἱλεώσασα, ὁ δὲ ἐν κόποις πολλοῖς, νῦν δε εὐφροσύνης ἀλήκτου, καὶ μακαριότητος θείας, ἄμφω ἐντρυφᾶτε ἀγαλλόμενοι.

*Δόξα. Ἦχος β΄.*

Ἀγνωσίᾳ τὴν ψυχὴν κεκρατημένη, ἐδαπανήσας ταῖς ἡδοναῖς, τῆς ψυχῆς τὴν περιουσίαν και τῷ δυκτίῳ

ἐνεπλάκης τῆς ἀσωτίας, ἀφισταμένη τοῦ Θεοῦ, ὅτε δὲ ἡ χάρις σὲ εἵλκυσε, τῇ τοῦ Ὁσίου Θεοφάνους ζωγρήσει, εὐθὺς ἀπέστης τῶν ἡδονῶν, καὶ σαυτὴν τῷ Κυρίῳ ἐκδέδωκας, ἐλεύκανας δὲ τὴν ψυχήν, τῷ τῆς μετανοίας ὑσσώπῳ καὶ ἐνεδύσω σωτηρίου ἱμάτιον, τὴν χάριν τοῦ βαπτίσματος, Πανσέμνη μακαρία. Τῇ ἀσκήσει δὲ λαμπρυνθεῖσα καὶ τῇ ἀεννάῳ προσευχῇ πρὸς τὸν Θεὸν πτερωθεῖσα, θείων θαυμάτων ἐνέργειαν ἐπλούτισας, πᾶσαν νόσον ἰασαμένη τῇ δυνάμει τοῦ Χριστοῦ. Αὐτῷ μὴ διαλίπης πρεσβεύουσα, ὁδοποιῆσαι καὶ ἡμῖν, τρίβον ἐπιστροφῆς πρὸς Κύριον καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου...

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀπόστολος τῶν Ὁσίων (Γαλ. Ε΄ 22-στ 2)

Εὐαγγέλιον Ματθ. ια΄ 27-30

Κοινωνικόν: *Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.*

*Μεγαλυνάριον.*

Χαίροις μετανοίας εἰλικρινοῦς, Πανσέμνη Ὁσία, ὑποτύπωσις ἐναργής, χαίροις ποδηγέτα, αὐτῆς πρὸς σωτηρίαν, Θεόφανες Ὁσίων ἄνθος ἡδύπνευστον.

